μακάριοϲ ἦϲθ' ἄν, εἴ τι τῶνδε μακάριον·
νῦν ⟨δ'⟩ αὔτ' ἰδὼν μὲν γνούϲ τε ϲῆι ψυχῆι, τέκνον,
οὐκ οἶϲθ', ἐχρήϲω δ' οὐδὲν ἐν δόμοιϲ ἔχων.
δύϲτηνε, κρατὸϲ ὥϲ ϲ' ἔκειρεν ἀθλίωϲ
τείχη πατρῷα, Λοξίου πυργώματα,
ὃν πόλλ' ἐκήπευϲ' ἡ τεκοῦϲα βόϲτρυχον
φιλήμαϲίν τ' ἔδωκεν, ἔνθεν ἐκγελᾶι
ὀϲτέων ῥαγέντων φόνοϲ, ἵν' αἰϲχρὰ μὴ ϲτέγω.
ὦ χεῖρεϲ, ὡϲ εἰκοὺϲ μὲν ἡδείαϲ πατρὸϲ
κέκτηϲθ', ἐν ἄρθροιϲ δ' ἔκλυτοι πρόκειϲθέ μοι.
ὦ πολλὰ κόμπουϲ ἐκβαλών, φίλον ϲτόμα,
ὄλωλαϲ, ἐψεύϲω μ', ὅτ' ἐϲπίπτων πέπλουϲ,
Ὦ μῆτερ, ηὔδαϲ, ἦ πολύν ϲοι βοϲτρύχων
πλόκαμον κεροῦμαι πρὸϲ τάφον θ' ὁμηλίκων
κώμουϲ ἐπάξω, φίλα διδοὺϲ προϲφθέγματα.
ϲὺ δ' οὐκ ἔμ', ἀλλ' ἐγὼ ϲὲ τὸν νεώτερον,
γραῦϲ ἄπολιϲ ἄτεκνοϲ, ἄθλιον θάπτω νεκρόν.
οἴμοι, τὰ πόλλ' ἀϲπάϲμαθ' αἵ τ' ἐμαὶ τροφαὶ
ὕπνοι τ' ἐκεῖνοι φροῦδά μοι. τί καί ποτε
γράψειεν ἄν ϲοι μουϲοποιὸϲ ἐν τάφωι;
Τὸν παῖδα τόνδ' ἔκτειναν Ἀργεῖοί ποτε
δείϲαντεϲ; αἰϲχρὸν τοὐπίγραμμά γ' Ἑλλάδι.
ἀλλ' οὖν πατρῴων οὐ λαχὼν ἕξειϲ ὅμωϲ